στάσεις τῶν Μεσσηνίων. τὴν μὲν οὖν πρώτην κατάκτησιν αὐτῶν φησιν Τυρταῖος ἐν τοῖς ποιήμασι κατὰ τοὺς τῶν πατέρων πατέρας γενέσθαι (fr. 5. 6)· τὴν δὲ δευτέραν, καθ' ἣν ἑλόμενοι συμμάχους Ἀργείους τε καὶ †Ἠλείους καὶ Πισάτας ἀπέστησαν, Ἀρκάδων μὲν Ἀριστοκράτην τὸν Ὀρχομενίων βασιλέα παρεχομένων στρατηγόν, Πισατῶν δὲ Πανταλέοντα τὸν Ὀμφαλίωνος, ἡνίκα φησὶν αὐτὸς στρατηγῆσαι τὸν πόλεμον τοῖς Λακεδαιμονίοις.

**9** Arist. *Eth. Nic.* 3. 8. 5 p. 1116a36 καὶ οἱ προτάττοντες, κἂν ἀναχωρῶσι τύπτοντες, τὸ αὐτὸ δρῶσι· καὶ οἱ πρὸ τῶν τάφρων καὶ τῶν τοιούτων παρατάττοντες. Eustrat. ad loc. (*Comm. in Arist. Graeca* xx. 165. 1) τοῦτο περὶ Λακεδαιμονίων λέγοι ἄν· τοιαύτην γάρ τινα μάχην ὅτε πρὸς Μεσσηνίους ἐπολέμουν ἐμαχέσαντο, ἧς καὶ Τυρταῖος μνημονεύει.

**10** Lycurg. *in Leocr.* 107

τεθνάμεναι γὰρ καλὸν ἐνὶ προμάχοισι πεσόντα
  ἄνδρ' ἀγαθὸν περὶ ᾗι πατρίδι μαρνάμενον·
τὴν δ' αὐτοῦ προλιπόντα πόλιν καὶ πίονας ἀγροὺς
  πτωχεύειν πάντων ἔστ' ἀνιηρότατον,
πλαζόμενον σὺν μητρὶ φίληι καὶ πατρὶ γέροντι
  παισί τε σὺν μικροῖς κουριδίηι τ' ἀλόχωι.
ἐχθρὸς μὲν γὰρ τοῖσι μετέσσεται οὕς κεν ἵκηται,
  χρησμοσύνηι τ' εἴκων καὶ στυγερῆι πενίηι,
αἰσχύνει τε γένος, κατὰ δ' ἀγλαὸν εἶδος ἐλέγχει,
  πᾶσα δ' ἀτιμίη καὶ κακότης ἕπεται.
†εἶθ' οὕτως ἀνδρός τοι ἀλωμένου οὐδεμί' ὤρη